This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

3 3433 08161945 8

303

Warburton Davies



1797
N5E

ΑΙ ΤΟΥ

ΕΥΡΙΠΙΔΟΥ

ΤΡΑΓΩΔΙΑΙ

ΣΩΖΟΜΕΝΑΙ.

EURIPIDIS

TRAGOEDIAE

QUAE SUPERSUNT,

EX RECENSIONE SAMUELIS MUSGRAVII.

TOMUS QUINTUS.

ASTOR LIBRARY
NEW-YORK

GLASGUAE:
EXCUDEBAT ANDREAS FOULIS.
EDINBURGI PROSTANT VENALES APUD G. LAING,
ET APUD D. BREMNER LONDINI.
MDCC.XCVII.

NEW YORK PUBLIC LIBRARY

Ὁ ΤΟΥ

ΕΥΡΙΠΙΔΟΥ

ΙΦΙΓΕΝΕΙΑ

Η ΕΝ ΑΥΛΙΔΙ.

ΤΠΟΘΕΣΙΣ

ΙΦΙΓΕΝΕΙΑΣ ΤΗΣ ΕΝ ΤΑΥΡΟΙΣ.

ΟΡΕΣΤΗΣ κατὰ χρησμὸν ἐλθὼν εἰς Ταύρους τὴν Σκυθίας μετὰ Πυλάδου, παρακινηθεὶς, τὸ παρ' αὐτοῖς τιμώμενον τῆς Ἀρτέμιδος ξόανον ὑφελέσθαι προῃρεῖτο· παρελθὼν δ' ἀπὸ τῆς νεὼς, καὶ φανεὶς ὑπὸ τῶν ἐντοπίων, ἅμα τῷ φίλῳ συληθεὶς, ἀνήχθη κατὰ τὸν παρ' αὐτοῖς ἐθισμὸν, ὅπως τῷ τῆς Ἀρτέμιδος Ἱερῷ σφάγιον γένωνται· ὅτι γὰρ κατακλύσαντας ξένους ἀπέσφαττον. Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν, Ταύροις τῆς Σκυθίας· ὁ δὲ Χορὸς συνέστηκεν ἐξ Ἑλληνίδων γυναικῶν, θεραπαινίδων τῆς Ἰφιγενείας.

Ὁ τοῦ

ΕΥΡΙΠΙΔΟΥ ΙΦΙΓΕΝΕΙΑ, Η ΕΝ ΑΥΛΙΔΙ.

Τὰ τῦ Δράματος

ΠΡΟΣΩΠΑ.

ΑΓΑΜΕΜΝΩΝ.

ΠΡΕΣΒΥΤΗΣ.

ΧΟΡΟΣ.

ΜΕΝΕΛΑΟΣ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ΙΦΙΓΕΝΕΙΑ.

ΑΧΙΛΛΕΥΣ.

ΘΕΡΑΠΩΝ.

ΑΓΓΕΛΟΣ.

Προλογίζει δὲ ὁ Ἀγαμέμνων.

IPHIGENIA IN AULIDE.

AGAMEMNON.

ANAPAESTI.

O Senex, ante hanc domum A
Procede. S. Procedo. Quid vero novi moliris,
Rex Agamemnon? A. Audies. S. Festino.
Usu *enim* senectutem meam insomnem,
Et vegetam oculis, praestiti.
A. Quae stella haec vehitur coelo?
S. Sirius prope septemplicem
Leporem currens in medio sublimis adhuc.
A. Non igitur est sonitus neque avium,
Neque maris, et silentia Ventorum
Circa Euripum hunc regnant.
S. Quid vero tu extra tentorium proruis,
Agamemnon rex?
Adhuc enim quies, hic in Aulide,
Et *sunt* immotae custodiae murorum.
An abimus intro? A. Felicem duco te, senex.
Felicem quoque duco mortalium, quicunque sine

ΙΦΙΓΕΝΕΙΑ
Η ΕΝ ΑΥΛΙΔΙ.

ΑΓΑΜΕΜΝΩΝ.

ΑΝΑΠΑΙΣΤΟΙ.

Ὦ πρέσβυ, δόμων τῶνδε πάροιθεν
Στεῖχε. Π. Στείχω· τί δὲ καινεργεῖς,
Ἀγάμεμνον ἄναξ; Α. Πεύση. Π. Σπεύδω.
Μάλα το γῆρας τεμὸν ἄϋπνον,
Καὶ ἐπ' ὀφθαλμοῖς ὀξὺ πάρεσιν.
Α. Τίς ποτ' ἄρ' ἀστὴρ ὅδε πορθμεύει;
Π. Σείριος, ἐγγὺς τῆς ἑπταπόρου
Πλειάδος αἴσσων ἔτι μεσσήρης.
Α. Οὔκουν φθόγγος γ' οὔτ' ὀρνίθων,
Οὔτε θαλάσσης· σιγαὶ δ' ἀνέμων
Τόνδε κατ' Εὔριπον ἔχουσιν.
Π. Τί δὲ σὺ σκηνῆς ἐκτὸς αἴσσεις,
Ἀγάμεμνον ἄναξ;
Ἔτι δ' ἡσυχία τῆδε κατ' Αὐλιν,
Καὶ ἀκίνητοι φυλακαὶ τειχέων.
Στείχομεν εἴσω; Α. Ζηλῶ σε, γέρον·
Ζηλῶ δ', ἀνδρῶν ὃς ἀκίνδυνον

Βίον ἐξεπέρασ' ἀγνὼς, ἀκλεής·
Τὰς δ' ἐν τιμαῖς ἧσσον ζηλῶ.
Π. Καὶ μὴν τὸ καλόν γ' ἐνταῦθα βίᾳ.
Α. Τοῦτο δέ γ' ἐστὶν τὸ καλὸν σφαλερόν·
Καὶ τὸ φιλότιμον
Γλυκὺ μὲν, λυπεῖ δὲ προσιστάμενον.
Τοτὲ μὲν τὰ θεῶν ἐκ ὀρθωθέν-
τ' ἀνέτρεψε βίον,
Τοτὲ δ' ἀνθρώπων γνῶμαι πολλαὶ
Καὶ δυσάρεστοι διέκναισαν.
Π. Οὐκ ἄγαμαι ταῦτ' ἀνδρὸς ἀριστέος.
Οὐκ ἐπὶ πᾶσιν σ' ἐφύτευσ' ἀγαθοῖς,
Ἀγάμεμνον, Ἀτρεύς.
Δεῖ δέ σε χαίρειν, καὶ λυπεῖσθαι·
Θνητὸς γὰρ ἔφυς· κἂν μὴ σὺ θέλῃς,
Τὰ θεῶν ὕστω βελόμεν' ἔσαι.
Σὺ δὲ λαμπτῆρος φάος ἀμπετάσας,
Δέλτον τε γράφεις
Τήνδ', ἣν πρὸ χερῶν ἔτι βαστάζεις,
Καὶ ταῦτα πάλιν γράμματα συγχεῖς,
Καὶ σφραγίζεις, λύεις τ' ὀπίσω,
Ῥίπτεις τε πέδῳ πεύκην, θαλερὸν
Κατὰ δάκρυ χέων·

Periculo vitam tranſegit ignotus, inglorius:
Minus vero felices duco illos, qui ſunt in honoribus.
S. Atqui decus hic *eſt* vitae.
A. Hoc vero decus eſt lubricum:
Et principatus
Dulcis quidem *eſt*, ſed moleſtia afficit cum adeſt.
Aliquando enim Deorum cultus non rite peractus evertit vitam:
Aliquando vero hominum ſententiae variae
Et moroſae male habent.
S. Non laudo iſta *in* viro principe.
Non ad omnia bona genuit te,
O Agamemnon, Atreus:
Oportet enim te gaudere, et dolere;
Es enim mortalis: et, etiamſi tu non velis,
Deorum ea eſt voluntas.
Tu vero lucernae lumen aperiens,
Epiſtolam ſcribis
Hanc, quam adhuc geris in manibus:
Et eaſdem literas rurſus confundis,
Et obſignas, et poſtea *reſignas*,
Abjiciſque tabulas humi, largas
Lachrymas effundens:

Et nulla perturbatione indiges,
Ne infanire credaris; quid laboras? quid laberas?
Quid novi, quid novi tibi adeſt, o rex?
Age, communica ſermonem nobiſcum:
Dices enim viro bono, et fideli.
Nam tuae conjugi quondam Tyndareus me
Miſit munus dotale,
Probumque ſponſae communem curatorem.

IAMBI.

A. Fuerunt Ledae Theſtiadi tres virgines,
Phoebe, et Clytaemneſtra mea conjunx,
Et Helena: hujus praeſtantes opibus
Proci fuerunt Graeciae.
Atroces vero minae, et mutuae caedes parabantur
Ab eo, quiſquis non conſecutus fuiſſet virginem. Haec
Igitur res valde anxium habebat patrem Tyndareum,
Sive daret, ſive non daret, et quomodo rem
Optime aggrederetur: et hoc ei venit in mentem,
Ut jusjurandum mutuo darent, et dextras
Conjungerent proci inter ſe, et per ardentes victimas
Libationes demitterent, diriſque ſe aſtringerent, *ſe*,
Cui uxor obtigiſſet Tyndaris puella,
Huic ſimul opitulaturos eſſe, ſi quis ex domo

Καὶ τῶν ἀπόρων ἄδενος ἐνδεῖς
Μὴ ἐ μαίνεσθαι· τί πονεῖς; τί πονεῖς;
Τί νέον, τί νέον περὶ σοὶ, βασιλεῦ;
Φέρε, κοίνωσον μῦθον ἐς ἡμᾶς·
Πρὸς δ' ἄνδρ' ἀγαθὸν πιστόν τε φράσεις.
Σῇ γάρ μ' ἀλόχῳ τότε Τυνδάρεως
Πέμπεν φερνὴν,
Συνυμφοκόμον τε δίκαιον.

ΙΑΜΒΟΙ.

Α. Ἐγένοντο Λήδᾳ Θεστιάδι τρεῖς παρθένοι,
Φοίβη, Κλυταμνήστρα τ' ἐμὴ ξυνάορος,
Ἑλένη τε· ταύτης, οἱ τὰ πρῶτ' ὠλβισμένοι,
Μνηστῆρες ἦλθον Ἑλλάδος νεανίαι.
Δειναὶ δ' ἀπειλαὶ, καὶ κατ' ἀλλήλων φόνος
Ξυνίσαθ', ὅστις μὴ λάβοι τὴν παρθένον.
Τὸ πρᾶγμα δ' ἀπόρως εἶχε Τυνδάρεῳ πάλαι,
Δῶναί τε, μὴ δῶναί τε, τῆς τύχης ὅπως
Ἄψαυτ' ἄρισα· καί νιν εἰσῆλθεν τάδε,
Ὅρκους συνάψαι, δεξιάς τε συμβαλεῖν
Μνηστῆρας ἀλλήλοισι, καὶ δι' ἐμπύρων
Σπονδὰς καθεῖναι, κἀπαράσασθαι τάδε,
Ὅτῳ γυνὴ γένοιτο Τυνδαρὶς κόρη,
Τούτῳ συναμύνειν, εἴ τις ἐκ δόμων λαβὼν

Οἴχοιτο, τόν τ' ἔχοντ' ἀπωθόιη λέχȣς,
Κἀπιςρατεύσειν, καὶ κατασκαψειν πόλιν,
Ἕλλην' ὁμοίως, βάρβαρόν θ', ὅπλων μέτα.
Ἐπεὶ δ' ἐπιςώθησαν, εὖ δέ πως γέρων
Ὑπῆλθεν αὐτȣ̀ς Τυνδάρεως πυκνῇ φρενὶ,
Δίδωσ' ἑλέσθαι θυγατρὶ μνηςήρων ἕνα,
Ὅτȣ πνοαὶ φέροιεν Ἀφροδίτης φίλαι.
Ἡ δ' εἵλεθ', ὥς γε μή ποτ' ὤφελεν λαβεῖν,
Μενέλαον· ἐλθὼν δ' ȣ̓κ Φρυγῶν ὁ τὰς θεὰς
Κρίνας ὅδ', ὡς ὁ μῦθος ἀνθρώπων ἔχει,
Λακεδαίμον', ἀνθηρὸς μὲν εἱμάτων ςολῇ,
Χρυσῷ τε λαμπρὸς, βαρβάρῳ χλιδήματι,
Ἐρῶν ἐρῶσαν ᾤχετ' ἐξαναρπάσας
Ἑλένην πρὸς Ἴδης βȣ́ςαθμ' ἔκδημον λαβὼν
Μενέλαον· ὁ δὲ καθ' Ἑλλάδ' οἰςρήσας μόνος
Ὅρκȣς παλαιȣ̀ς Τυνδάρεω μαρτύρεται,
Ὡς χρὴ βοηθεῖν τοῖσιν ἠδικημένοις.
Τȣ̀ντεῦθεν οὖν Ἕλληνες ἀΐξαντες ποσὶ,
Τεύχη λαβόντες, ςενόπορ' Αὐλίδος βάθρα
Ἥκȣσι τῆσδε, ναυσὶ ἀσπίσιν θ' ὁμοῦ,
Ἵπποις τε, πολλοῖς θ' ἅρμασίν γ' ἠσκημένοι·
Κἀμὲ ςρατηγεῖν, κἆτα Μενέλεω χάριν,
Εἵλοντο, σύγγονόν γε· τἀξίωμα δὲ

Capiens *eam* abiret, et depelleret a lecto maritum,
Et adverſus illum militaturos, et everſuros urbem,
Graecam pariter et barbaram, manu armata.
Poſtquam autem *mutuo* fidem dederunt, et aſtute
Senex Tyndareus eos fefellerat callido conſilio,
Conceſſit *tunc* filiae ut eligeret unum ex procis,
Ad quemcunque grati Veneris flatus *eam* ferrent.
Illa vero elegit, utinam ipſe nunquam duxiſſet *eam*,
Menelaum. Veniens autem ex Phrygibus dearum
Iſte judex, ut habet ſermo hominum,
Lacedaemona, florens ornatu veſtium,
Et auro ſplendens, barbarico luxu,
Amans amantem abiit abreptam vehens
Helenam in Idae bovilia, peregre profectum nactus
Menelaum. Ille autem per Graeciam aeſtuans
Aegritudine teſtatur vetus jusjurandum Tyndareo
Datum, quod oporteat opem ferre injuria affectis.
Hinc igitur Graeci parantes navigia,
Armis correptis *in* Aulidis ſedes freto vicinas
Hujus veniunt, navibus, et clypeis ſimul,
Ac equis, et multis curribus inſtructi.
Et me ſummam belli adminiſtrare, Menelai gratia,
Elegerunt, fratrem *ipſius*. Dignitatem vero

Hanc utinam aliquis alius nactus esset pro me.
Collecto autem, et congregato exercitu,
Sedemus, cum non possimus navigare, in Aulide.
Calchas vero vates nesciis quid ageremus,
Respondit: Iphigeniam, quam genui ego,
Mactandam Dianae habitanti hoc solum: et
Futuram simul navigationem et eversionem Phrygum,
Mactantibus *Iphigeniam*, at non mactantibus non fore
Haec. Haec autem audiens ego, claro praeconio
Jussi Talthybium dimittere totum exercitum,
Ut nunquam meam filiam occidere sustenturus.
Donec tandem me frater, omne admovens
Argumentum, persuasit sustinere atrocia: et in epistolae
Plicis scribens misi ad meam uxorem,
Ut mittat filiam tanquam nupturam Achilli,
Et amplificans dignitatem viri,
Et dicens, quod non velit navigare cum Achivis,
Nisi a nobis veniat connubium in Phthiam. Hanc
Enim persuasionem habui ad conjugem meam,
Falsas praetexens de puella nuptias.
Soli vero ex Graecis scimus, quomodo se habeant haec,
Calchas, Ulysses, et Menelaus. Sed quae non recte
Tunc decrevi, rursus rescribo recte

Ἄλλος τις ὤφελ' αὐτ' ἐμοῦ λαβεῖν τόδε.
Ἡθροισμένου δὲ καὶ ξυνεζωτος στρατοῦ,
Ἥμεθ', ἁπλοίᾳ χρώμενοι κατ' Αὐλίδα.
Κάλχας δ' ὁ μάντις ἀπορίᾳ κεχρημένος
Ἀνεῖλεν, Ἰφιγένειαν, ἣν ἔσπειρ' ἐγὼ,
Ἀρτέμιδι θῦσαι, τῇ τόδ' οἰκιστὴ πέδου·
Καὶ πλεῖν τ' ἔσεσθαι, καὶ καλασκαφὰς Φρυγῶν
Θύσασι, μὴ θύσασι δ' οὐκ εἶναι τάδε.
Κλύων δ' ἐγὼ ταῦτ', ὀρθίῳ κηρύγματι
Ταλθύβιον εἶπον πάντ' ἀφιέναι στρατὸν,
Ὡς οὔποτ' ἂν τλαὶς θυγατέρα κτανεῖν ἐμήν.
Οὗ δή μ' ἀδελφὸς, πάντα προσφέρων λόγον,
Ἔπεισε τλῆναι δεινά· κἄν δέλτοι πτυχαῖς
Γράψας, ἔπεμψα πρὸς δάμαρτα τὴν ἐμὴν,
Πέμπειν Ἀχιλλεῖ θυγατέρ' ὡς γαμουμένην,
Τό, τ' ἄξιωμα τἀνδρὸς ἐκγαυρούμενος,
Συμπλεῖν τ' Ἀχαιοῖς τἄνεκ' ἃ θέλοι λέγων,
Εἰ μὴ παρ' ἡμῶν εἶσιν εἰς Φθίαν λέχος.
Πειθὼ γὰρ εἶχον τήνδε πρὸς δάμαρτ' ἐμὴν,
Ψευδῆ συνάψας ἀντὶ παρθένου γάμον.
Μόνοι δ' Ἀχαιῶν ἴσμεν ὡς ἔχει τάδε
Κάλχας, Ὀδυσσεὺς, Μενέλεως θ'· ἃ δ' ἐκαλῶς
Ἔγνων τότ', αὖθις μεταγράφω καλῶς πάλιν

Εἰς τήνδε δέλτον, ἣν κατ' εὐφρόνης σκιὰν
Λύοντα καὶ συνδοῦντά μ' εἰσεῖδες, γέρον.
Ἀλλ' εἶα, χώρει, τάσδ' ἐπιστολὰς λαβών,
Πρὸς Ἄργος· ἃ δ' ἥκευθε δέλτος ἐν πτυχαῖς,
Λόγῳ φράσω σοι πάντα τἀγγεγραμμένα·
Πιστὸς γὰρ ἀλόχῳ τοῖς τ' ἐμοῖς δόμοισιν εἶ.
Π. Λέγε καὶ σήμαιν', ἵνα καὶ γλώσσῃ
Σύντονα τοῖς σοῖς γράμμασιν αὐδῶ.

ΑΝΑΠΑΙΣΤΟΙ.

Πέμπω σοι πρὸς ταῖς πρόσθεν
Δέλτοις, ὦ Λήδας ἔρνος·
Α. Μὴ σφέλλειν τὰν σὰν ἵνιν πρὸς
Τὰν κολπώδη πτέρυγ' Εὐβοίας,
Αὖλιν ἀκλύσαν·
Εἰς τὰς ἄλλας ὥρας γὰρ δὴ
Παιδὸς δαίσομεν ὑμεναίους.
Π. Καὶ πῶς Ἀχιλεὺς, λέκτρ' ἀμπλακών,
Οὐ μέγα φυσῶν θυμὸν ἐπαίρει
Σοί, σῇ τ' ἀλόχῳ;
Α. Τόδε καὶ δεινόν. Π. Σήμαιν' ὅ, τὶ φής.
Α. Ὄνομ', οὐκ ἔργον, παρέχων Ἀχιλλεὺς,
Οὐκ οἶδε γάμους, οὐδ' ὅ, τι πράσσομεν,
Οὐδ' ὅτι κείνῳ παῖδ' ἐπέφησα

In has tabellas literis, quas in umbra noctis
Solventem et colligentem vidisti me, senex.
Sed eja vade, accipiens hanc epistolam,
Ad Argos. Sed quae occultat epistola in plicis,
Verbis exponam tibi omnia, quae in *ea sunt* scripta:
Es enim fidelis conjugi et meae familiae.
S. Dic et significa, ut lingua quoque
Consentanea tuis scriptis dicam.

ANAPAESTI.

A. *Has* mitto tibi praeter priores
Literas, o Ledae germen,
Ne mittas tuam filiam ad
Sinuosam alam Euboeae,
Et Aulidem, fluctibus non vexatam:
Nam in aliud tempus
Filiae Hymenaeos dilatos celebrabimus.
S. Et quomodo Achilles frustratus conjugio,
Non valde incandescens incitabit iram
Adversus te, et tuam conjugem?
A. Hoc etiam est incommodum. S. Expone, quid
Velis. A. Nomen, non rem, praebens Achilles,
Haud novit nuptias, neque quid agamus,
Neque quod illi filiam promiserim

Nuptialia in ulnarum
Vincula me daturum lectis.
S. Atrocia certe audes, rex Agamemnon.
Qui Deae *Thetidis* filio tuam filiam ſponſam
Dicens, ducebas victimam pro Danais.
A. Hei mihi, mente excidi.
Heu, heu. Incido enim in calamitatem.
Sed vade agitans tuum pedem, ſenectae
Nihil cedens.
S. Propero, rex.
A. Ne nunc, ne nemoribus cinctos confideas *juxta*
Fontes, neque demulcearis ſomno.
S. Bona verba, quaeſo.
A. Ubique vero praeteriens biviam viam,
Vide, obſervans ne forte te lateat
Velocibus rotis praetervecta,
Filiam *meam* portans huc rheda,
Danaorum ad naves.
S. Fiet. A. Ex portis igitur ocyus exi:
Nam ſi ejus comitatui occurras,
Retro flectes fraena illico,
Mittens ad Cyclopum atria.
S. Quomodo autem fidem conſequar dicens haec

Νυμφείως εἰς ἀγκώνων
Εὐνὰς ἐνδώσειν λέκτροις.
Π. Δεινά γε τολμᾷς, Ἀγάμεμνον ἄναξ,
Ὅς, τῷ τῆς θεᾶς σὴν παῖδ' ἄλοχον
Φατίσας, ἦγες σφάγιον Δαναοῖς.
Α. Οἴμοι, γνώμας ἐξέσαν.
Αἰ, αἰ· πίπτω δ' εἰς ἄταν.
Ἀλλ' ἴθ', ἐρέσσων σὸν πόδα, γήρᾳ
Μηδὲν ὑπείκων.
Π. Σπεύδω, βασιλεῦ.
Α. Μὴ νῦν μήτ' ἀλσώδεις ἴζῃ
Κρήνας, μήθ' ὕπνῳ θελχθῇς.
Π. Εὔφημα θρόει.
Α. Πάντῃ δὲ, πόρον σχίσὸν ἀμείβων,
Λεῦσσε, φυλάσσων μή τι σε λάθῃ,
Τροχάλοισιν ὄχοις παραμειψαμένη,
Παῖδα κομίζουσ' ἐνθάδ' ἀπήνη
Δαναῶν πρὸς ναῦς.
Π. Ἔσαι τάδε. Α. Κλήθρων δ' ἐξόρμα·
Ἢν γάρ νιν πομπᾶις ἀντήσῃς,
Πάλιν ἐξορμάσεις τὰς χαλινάς,
Ἐπὶ Κυκλώπων ἰεὶς θυμέλας.
Π. Πιστὸς δὲ, φράσας τάδε, πῶς ἔσομαι,

Λέγε, παιδὶ σέθεν, τῇ σῇ τ' ἀλόχῳ;
Α. Σφραγῖδα φύλασσ', ἣν ἐπὶ δέλτῳ
Τῇδε κομίζεις.
Ἴθι· λευκαίνει τόδε φῶς ἤδη
Λάμπουσ' ἠώς,
Πύρ τε τεθρίππων τῶν ἀελίου
Σύλλαβε μόχθων.
Θνητῶν δ' ὄλβιος εἰς τέλος οὐδείς,
Οὐδ' εὐδαίμων·
Οὔπω γὰρ ἔφυ τις ἄλυπος.

ΕΠΩΔΙΚΑ.

ΣΤΡΟΦΗ Α'.

Χ. Ἔμολον ἀμφὶ παραλτίαν
Ψάμαθον Αὐλίδος ἐναλίας,
Εὐρίπου διὰ χευμάτων
Κέλσασα ξενόπορθμον
Χαλκίδα, πόλιν ἐμὰν προλιπεῖν
σ', ἀγχιάλων ὑδάτων τροφὸν,
Τᾶς κλεινὰς Ἀρεθούσας,
Ἀχαιῶν στρατιὰν ὡς ἴδοιμ' ἄν,
Ἀχαιῶν τε πλάτας ναυσιπόρους
Ἡμιθέων· ὡς ἐπὶ Τροί-
αν ἐλάταις χιλιόναυσιν

Apud filiam tuam et tuam conjugem? dic.
A. Serva sigillum, quod supra literas
Has portas.
Vade; jam enim albescit lucem hanc
Aurora accendens,
Et ignis curruum Solis:
Adjuva *me in his* laboribus.
Nemo enim mortalium *est* ad finem usque beatus,
Neque felix:
Nullus enim adhuc natus est omnis doloris expers.

EPODICA.

STROPHE I.

C. Veni ad littoralem
Arenam maritimae Aulidis,
Per fluctus Euripi
Navigans, angusto trajectu
Chalcidem, urbem meam relin-
quens, altricem aquarum vicinarum mari,
Inclytae Arethusae:
Ut videam exercitum Achivorum,
Et remos, qui naves promovent Achivorum
Juvenum: quos ad Troj-
am remis mille navium

Flavum Menelaum
Noſtri mariti
Dicunt, et nobilem Agamemnonem,
Ducere, ad Helenam *repetendam*:
Ab Eurota arundinoſo
Quam abduxit Paris Paſtor,
Munus Veneris:
Quando ad rorem fontanum,
Cum Junone et Pallade litem, litem
De forma Venus habuit.

ANTISTROPHE I.

Per nemus multorem ſacrificiorum Dianae veni, ſpectatam
Genam meam rubefaciens
Pudore juvenili,
Clypeatorum munimentum, et tentoria
Armifera Danaorum volens et equorum turmas videre.
Vidi autem duos Ajaces contubernales,
Oïlei, et Telamonis filium,
Decus Salaminis,
Et Proteſilaum, in ſedibus

Τὸν ξανθὸν Μενέλαον
Ἀμέτεροι πόσεις
Ἐνέπουσ', Ἀγαμέμνονά τ' εὐπατρίδαν,
Στέλλειν ἐπὶ τὰν Ἑλέναν,
Ἀπ' Εὐρώτα δοναχοτρόφω
Πάρις ὁ βυκόλος ἂν ἔλαζεν
Δῶρον τᾶς Ἀφροδίτας.
Ὅτ' ἐπὶ κρηναίαισι δρόσοις
Ἥρα Παλλάδι τ' ἔριν ἔριν
Μορφᾶς ἁ Κύπρις ἔχεν.

ΑΝΤΙΣΤΡΟΦΗ Α'.

Πολύθυτον δὲ δι' ἄλσος Ἀρ-
τέμιδος ἦλυθον, ὁρωμέναν
Φοινίσσουσα παρηίδ' ἐμὰν
Αἰχύνα νεοθαλεῖ,
Ἀσπίδος ἔρυμα, καὶ κλισίας
Ὁπλοφόρους Δαναῶν θέλξ-
σ', ἵππων ὄχλον τ', ἰδέσθαι.
Κατεῖδον δὲ δύ' Αἴαντε συνέδρω,
Τὸν Οἰλέως, Τελαμῶνός τε, γόνον,
Τᾶς Σαλαμῖνος σέφανον,
Πρωτεσίλαόν τ', ἐπὶ θάκοις

Πεσσῶν ἡδομένους μορ-
φαῖσι πολυπλόκοις·
Παλαμήδεά θ', ὃν τέκε παῖς ὁ Ποσει-
δᾶνος· Διομήδεά θ', ἡ-
δοναῖς δίσκου κεχαρημένον·
Παρὰ δὲ Μηριόνην, Ἄρεος
Ὄζον, θαῦμα βροτοῖσι,
Τὸν ἀπὸ νησαίων τ' ὀρέων
Λαέρτα τόκον· ἅμα δὲ Νι-
ρέα κάλλιστον Ἀχαιῶν·

ΕΠΩΔΟΣ Α'.

Τὸν ἰσάνεμον τε ποδοῖν
Λαιψηροδρόμον Ἀχιλῆα,
Τὸν ἁ Θέτις τέκε, καὶ
Χείρων ἐξεπόνασεν,
Εἶδον, αἰγιαλοῖσι
Παρά τε χροκάλαις
Δρόμον ἔχοντα σὺν ὅπλοις·
Ἅμιλλαν δ' ἐπόνει ποδοῖν
Πρὸς ἅρμα τέτρωρον
Ἐλίσσων περὶ νίκας.
Ὁ δὲ διφρηλάτας βοᾷ τ' Εὔ-
μηλος Φερητιάδας,

Delectantes se tesserarum figuris multiplicibus:
Et Palamedem, quem genuit filius Neptuni, et Diomedem voluptatibus disci gaudentem:
Et juxta Merionem Martis
Germen, miraculum hominibus:
Et a montibus insularibus *profectum*
Laërtis filium *Ulyssem*, et simul Nireum formosissimum Graecorum.

EPODUS I.

Et parem-vento pedibus
Celeriter-currentem Achillem,
Quem genuit Thetis, et
Chiron instituit,
Vidi *in* littore,
Et ad areas
Cursum habentem, cum armis,
Et faciebat certamen pedibus
Cum curru quadrijugo,
Flectens cursum circa metam:
Auriga vero clamabat Eumelus Pheretiades,

Cui vidi pulcherrimos
Equos fraenis, auro varie ornatis insignes,
Stimulo impelli;
Medicos quidem jugales al-
bis maculis distincta coma varios,
Exteriores vero funales
Obliquos flexibus cursuum
Rufis conspicuos pilis, et solid-
ungulis sub cruribus,
Variegatos pellem:
Juxta quos currebat
Pelides armatus, juxta rotarum orbem,
Et *modiolos* curules.

STROPHE 2.

Navium deinde ad multitudinem veni,
Et spectaculum inenarrabile,
Muliebrem delectationem oculorum
Ut explerem, suavem voluptatem.
Et ad cornu quidem erat
Dextrum, classem protegens,
Phthioticus Myrmidonum exercitus,
Quinquaginta navibus impetuosis:
Aureis vero simulachris

Ὦ, καλλίστας εἰδόμαν
Χρυσοδαιδάλτοις ὁμίοισι πώλοις
Κέντρῳ θεινομένους· τοὺς
Μὲν μέσους ζυγίους, λευ-
κοστίκτῳ τριχὶ βαλιούς,
Τοὺς δ' ἔξω σειραφόρους,
Ἀντήρεις καμπαῖσι δρόμων,
Πυρρότριχας, μονό-
χαλα δ' ὑπὸ σφυρὰ
Ποικιλοδέρμονας·
Οἷς παρεπάλλετο
Πηλείδας σὺν ὅπλοις παρ' ἄντυγα,
Καὶ αὐρίγγας ἁρματείους.

ΣΤΡΟΦΗ Β'.

Ναῶν δ' εἰς ἀριθμὸν ἦλυθον,
Καὶ θέαν ἀθέσφατον,
Τὰν γυναικείαν ὄψιν ὀμμάτων
Ὡς πλήσαιμι μείλινον ἀδονάν.
Καὶ κέρας μὲν ἦν
Δεξιὸν πλάτας ἔχων
Φθιώτας ὁ Μυρμιδόνων Ἄρης,
Πεντήκοντα ναυσὶ θουρίαις.
Χρυσέαις δ' εἰκόσιν

Κατ' ἄκραν Νηρῇδες ἔσασαν θεαὶ,
Πρύμναις σῆμ' Ἀχιλλείᾳ στρατῷ.

ΑΝΤΙΣΤΡΟΦΗ Β'.

Ἀργείων δὲ ταῖσδ' ἰσήρετμοι
Νᾶες ἔσασαν πέλας·
Ὧν ὁ Μηκιστέως στρατηλάτας
Παῖς ἦν, Ταλαὸς ὃν τρέφει πάτηρ·
Καπανέως τε παῖς
Σθένελος· Ἀτθίδος δ' ἄγων
Ἑξήκοντα νῆας ὁ Θησέως
Παῖς ἐξῆς ἐναυλόχει, θεὰν
Παλλάδ' ἐν μωνύχοις
Ἔχων πτερωτοῖσιν ἅρμασιν, θετὸν
Εὔσημόν τε φάσμα ναυβάταις.

ΣΤΡΟΦΗ Γ'.

Τῶν Βοιωτῶν δ' ὅπλισμα, ποντίας
Πεντήκοντα νῆας εἰδόμαν,
Σημείοις εὖ στολισμένας.
Τοῖς δὲ Κάδμος ἦν
Χρύσεον δράκοντ' ἔχων
Ἀμφὶ ναῶν κόρυμβα.
Λήϊτος δ' ὁ γηγενὴς
Ἦρχε ναΐᾳ στρατῷ,

In ſummitate ſtabant Nereides Deae
Puppis, ſignum exercitus Achillei.

ANTISTROPHE 2.

Argivorum vero paribus inſtructae remis
Naves ſtabant prope iſtas.
Quarum Dux Meciſtei
Erat filius, quem educat pater Talaus:
Et Capanei filius
Sthenelus. Ex Attica vero ducens
Sexaginta naves Theſei
Filius deinceps habebat ſtationem, Deam
Palladem in equeſtribus
Alatis curribus habens venuſtum
Fauſtumque ſignum nautis.

STROPHE 3.

Et exercitum Boeotorum, marinas
Naves quinquaginta vidi,
Ornatas ſignis fauſtis:
Quippe quibus Cadmus,
Aureum draconem tenens,
In navium roſtris erat;
Leïtus vero terrigena
Dux erat navalis exercitus:

Phocidis vero pone erat turba:
Locriſque ordinabat pares numero ducens
Naves Oïlei filius, claram
Throniada urbem relinquens.

ANTISTROPHE 3.

Ex Mycenis vero Cyclopeis
Filius Atrei mittebat nautas
Centum navium collectos:
Et ſimul erat Adraſtus
Dux, ut amicus cum amico,
Helenae illius quae deſeruerat domum *ſuam*,
Barbararum gratia nuptiarum;
Ut acciperet Graecia compenſationem.
Ex Pylo autem Neſtoris
Gerenii, vidi . . . . . .
In puppibus ſignum taurinis-pedibus videndum,
Accolam Alpheum.

EPODUS 3.

Aenianorum autem duodecim roſtra.
Navium erant, quibus rex Guneus
Imperabat: prope vero iſtos
Elidis principes,
Quos Epeos vocabat omnis populus:

Φωκίδος δ' ἀπὸ χθονός.
Λοκροῖς δὲ τοῖσδ' ἴσας ἄγων
Ναῦς Οἰλέως τόκος, κλυτὰν
Θρονιάδ' ἐκλιπὼν πόλιν.

ΑΝΤΙΣΤΡΟΦΗ Γ'.

Ἐκ Μυκήνας δὲ τᾶς Κυκλωπίας
Παῖς Ἀτρέως ἔπεμπε ναυβάτας
Ναῶν ἑκατὸν ἡθροισμένους.
Σὺν δ' Ἄδραστος ἦν
Ταγὸς [illegible]ρίλος φίλῳ,
Τᾶς φυγοδίκας μέλαθρα
Βαρβάρων χάριν γάμων,
Πρᾶξιν Ἑλλὰς ὡς λάβοι.
Ἐκ Πύλας δὲ Νέστορος
Γερηνίας κατειδόμαν
Πρύμνας, σῆμα ταυρόπων ὁρᾶν,
Τὸν πάροικον Ἀλφέον.

ΕΠΩΔΟΣ Γ'.

Αἰνιάνων δὲ δώδεκα στόλοι
Ναῶν ἦσαν· ὧν ἄναξ Γυνεὺς
Ἦρχε· τῶνδε δ' αὖ πέλας
Ἡλιοδὸς δυνάστορες,
Οὓς Ἐπειοὺς ὠνόμαζε πᾶς λεώς·

Εὔρυτος δ' ἄνασσε τῶνδε.
Λευκήρετμον δ' ἄρη
Τάφιον ἦγεν, ὧν Μέγης
Ἄνασσε, Φυλέως λόχευμα,
Τὰς Ἐχίδνας λιπὼν
Νήσους, ναυβάταις ἀπροσφόρους.
Αἴας δ', ὁ Σαλαμῖνος ἔντροφος,
Δεξιὸν κέρας
Πρὸς τὸ λαιὸν ξύναγε·
Τῶν ἆσσον ὥρμει πλάταισιν
Ἐχάταισι συμπλέκων
Δώδεκ' εὐστροφωτάταισι
Ναυσὶν, ὡς ἄϊον· καὶ ναυβάταν
Εἰδόμαν λεών,
Ὥ' τις εἰ προσαρμόσει
Βαρβάρους βάριδας,
Νόστον οὐκ ἀποίσεται.
Ἔνθα δαΐον εἰδόμαν
Ναΐων πόρευμα.
Τάδε κατ' οἴκους κλύουσα, συγκλήτου
Μνήμην σώζομαι στρατεύματος.

IAMBOI.

Π. Μενέλαε, ὀλμᾶς δεῖν', ἃς' ὑ ὀλμᾶν χρεών.

Eurytus autem imperabat his.
Albis vero remis instructum *exercitum*
Taphium mirabar, cui Meges
Praeerat, Phylei filius,
Relictis Echinadibus
Insulis, quae nautis sunt inaccessae.
Ajax autem, alumnus Salaminis,
Dextrum cornu
Sinistro conjungebat.
Quibus propius habebat stationem, ratibus
Extremis cohaerens,
Duodecim celerrimis
Navibus, ut audivi, et nauticum
Populum vidi.
Cui si quis committat
Barbaricas naves,
Non consequentur reditum. [*Salve mihi Aulis*]
Ubi bellicam, vidi
Navalem expeditionem.
Alia vero audiens domi, convocati
Memoriam servo exercitus.

IAMBI.

S. Menelae, audes atrocia, quae te non decet audere.

M. Apage, nimis fidelis es dominis.

S. Honeſtum ſane probrum mihi exprobras.

M. Plorabis, ſi facias, quae te non decet facere.

S. Non oportebat te aperire literas, quas ego ferebam.

M. Neque oportet te ferre mala omnibus Graecis.

S. Cum aliis de his contendito; relinque vero mihi Has *literas*. M. Non relinquam. S. Neque ego Dimittam. M. Cito igitur cruentabo caput tuum Sceptro. S. Sed glorioſum eſt mori pro dominis.

M. Dimitte; cum enim ſervus es dicis longas Orationes. S. O domine, injuria afficimur: tuas enim Epiſtolas hicce rapiens ex meis manibus vi, Agamemnon, non vult uti jure.

TROCHAEI.

A. Eja, quiſnam tumultus eſt in foribus, et verborum indecentia?

S. Mea, non hujus, oratio eſt potior dici.

A. Tu vero Menelae quare veniſti cum iſto in contentionem, et ducis eum vi?

M. Reſpice ad nos, ut hinc ſumam initium orationis.

Μ. Ἄπελθε, λίαν δεσπόταισι πιστὸς εἶ.
Π. Καλὸν γέ μοι τἄνειδος ἐξωνείδισας.
Μ. Κλαίοις ἄν, εἰ πράσσοις ἃ μὴ πράσσειν σε δεῖ.
Π. Οὐ χρῆν σε λῦσαι δέλτον, ἣν ἐγὼ 'φέρον.
Μ. Οὐδέ σε φέρειν δεῖ πᾶσιν Ἕλλησιν κακά.
Π. Ἄλλως ἀμιλλῶ ταῦτ'· ἄφες δὲ τήνδ' ἐμοί.
Μ. Οὐκ ἄν μεθείμην. Π. Οὐδ' ἔγωγ' ἀφήσομαι.
Μ. Σκήπτρῳ τάχ' ἆρα σὸν καθαιμάξω κάρα.
Π. Ἀλλ' εὐκλεές τοι δεσποτῶν θνήσκειν ὕπερ.
Μ. Μέθες· μακρὰς δὲ δῆλος ὢν λέξεις λόγους.
Π. Ὦ δέσποτ', ἀδικούμεθα· σὰς δ' ἐπιστολὰς
Ἐξαρπάσας ὅδ' ἐκ χερῶν ἐμῶν βίᾳ,
Ἀγάμεμνον, ἔδρᾳ τῇ δίκῃ χρῆσθαι θέλει.

ΤΡΟΧΑΙΟΙ.

Α. Ἔα· τίς δῆτ' ἐν πύλαισι θόρυβος, καὶ λόγων ἀκοσμία;
Π. Οὐ 'μός, οὐχ ὁ τῇδε μῦθος, κυριώτερος λέξειν.
Α. Σὺ δὲ τί τῷδ' ἐς ἔριν ἀφῖξαι, Μενέλεως, βίᾳ τ' ἄγεις;
Μ. Βλέψον εἰς ἡμᾶς, ἵν' ἀρχὰς τῶν λόγων ταύτας λάβω.

Α. Μῶν τρέσας οὐκ ἀνακαλύψω βλέφαρον, Ἀτρέως γεγώς;

Μ. Τήνδ' ὁρᾷς δέλτον, κακίστων γραμμάτων ὑπηρέτιν;

Α. Εἰσορῶ· καὶ πρῶτα ταύτην σῶν ἀπάλλαξον χερῶν.

Μ. Οὐ, πρὶν ἂν δείξω Δαναοῖς ἅπασι τἀγγεγραμμένα.

Α. Ἦ γὰρ οἶδ' ἃ μή σε καιρὸς εἰδέναι, σήμαντρ' ἀνεὶς;

Μ. Ὡς σ' ἀλγῦναί γ', ἀνοίξας ἃ σὺ κάκ' εἰργάσω λάθρα.

Α. Πῦ δὲ κἄλαβές νιν; ὦ θεοί, σῆς ἀναισχύντου φρενός.

Μ. Προσδοκῶν σὴν παῖδ' ἀπ' Ἄργους εἰς στράτευμ' ἀφίξεται.

Α. Τί δέ σε τἀμὰ δεῖ φυλάσσειν; οὐκ ἀναισχύντῳ τόδε;

Μ. Ὅτι τὸ βέλεσθαί μ' ἔκνιζε· σὸς δὲ δοῦλος οὐκ ἔφυν.

Α. Οὐχὶ δεινά; τὸν ἐμὸν οἰκεῖν οἶκον οὐκ ἐάσομαι;

A. Num timens non aperiam palpebras, natus ex Atreo?

M. Videſne hanc tabulam miniſtram peſſimorum facinorum?

A. Video, et primum hanc ex tuis manibus dimitte,

M. Non, priuſquam oſtendero omnibus Graecis quae in *ea ſunt* ſcripta.

A. An igitur ſcis quae non decet te ſcire, relaxato figillo?

M. Quantum te dolore afficiet, detegens quae clam tu patraſti, mala?

A. Ubi vero has *literas* cepiſti? o dii, o tuae impudentis mentis.

M. Expectans tuam filiam, num Argis veniat *ad* exercitum.

A. Quid vero te *res* meas obſervare oportet? nonne impudentis hoc *eſt*?

M. Quia voluntas me pungebat: tuus autem ſervus non eram.

A. Non *ſunt haec* atrocia? non ſinar regere meam domum?

M. Obliqua enim ſentis, alia quidem nunc, alia olim, alia mox.

A. Facundus extitiſti. Malum eſt lingua ad odium concitandum ſolers.

M. Animus vero inſtabilis, neque certus amicis, mala haberi res.

Volo autem te convincere, tu vero ne prae ira
Averſare verum, etiamſi valde te ego vellicavero.
Meminiſti quando cupiebas praefici Graecis ad Ilium euntibus,
Specie quidem non volens, voluntate vero cupiens,
Quam eras humilis, omnem dextram prehenſans,
Et habens fores patentes cuilibet popularium,
Et dans alloquium ordine omnibus, etiam ſi quis
Non volebat, moribus quaerens imperium a vulgo redimere?
Deinde poſtquam potitus es imperio mutans mores,
Amicis non amplius fuiſti, ſicut ante, amicus,
Difficilis aditu, et rarus extra clauſtra; virum non decet

Μ. Πλάγια γὰρ φρονεῖς· τὰ μὲν νῦν, τὰ δὲ πάλαι, τὰ δ' αὐτίκα.

Α. Ἐκκεκόμψευσαι· πονηρὸν γλῶσσ' ἐπὶ φθόνον σοφή.

Μ. Νοῦς δὲ γ' οὐ βέβαιος ἄδικον κτῆμα, κοὐ σαφὲς φίλοις.

Βούλομαι δέ σ' ἐξελέγξαι, καὶ σὺ μήτ' ὀργῆς ὕπο
Ἀποτρέπου τἀληθές· οὔτοι καταινῶ λίαν σ' ἐγώ.
Οἶσθ', ὅτ' ἐσπούδαζες ἄρχειν Δαναΐδαις πρὸς Ἴλιον,
Τῷ δοκεῖν μὲν οὐχὶ χρῄζων, τῷ δὲ βούλεσθαι θέλων,
Ὡς ταπεινὸς ἦς, ἁπάσης δεξιᾶς προσθιγγάνων,
Καὶ θύρας ἔχων ἀκλείστους τῷ θέλοντι δημοτῶν,
Καὶ διδοὺς πρόσρησιν ἑξῆς πᾶσι, κεἰ μή τις θέλοι,
Τοῖς τρόποις ζητῶν πρίασθαι τὸ φιλότιμον ἐκ μέσου;
Κᾆτ' ἐπεὶ κατέσχες ἀρχὰς, μεταβαλὼν ἄλλους τρόπους,
Τοῖς φίλοισιν οὐκ ἔτ' ἦσθα τοῖς πρὶν, ὡς πρόσθεν, φίλος,
Δυσπρόσιτος, ἔσω τε κλείθρων σπάνιος; ἄνδρα δ' οὐ χρεὼν

Τὸν ἀγαθὸν, πράσσοντα μεγάλα, τὰς τρόπους
μεθιςάναι,
Ἀλλὰ καὶ βέβαιον εἶναι λότε μάλιςα λοῖς φίλοις,
Ἡνίκ' ὠφελεῖν μάλιςα δυνατός ἐςιν εὐτυχῶν.
Ταῦτα μέν σε πρῶτ' ἐπῆλθον, ἵνα σε πρῶθ'
εὕρω κακόν.
Ὡς δ' ἐς Αὐλιν ἦλθες αὖθις, χ' ὡ πανελλήνων
ςρατὸς,
Οὐδὲν ἦσθ', ἀλλ' ἐξηπλήσσου τῇ τύχῃ τῇ
τῶν θεῶν,
Οὐρίας πομπῆς σπανίζων. Δαναΐδαι δ' ἀφιέναι
Ναῦς διήγγελλον, μάτην ἢ μὴ πονεῖν ἐν Αὐλίδι.
Ὡς δ' ἄνολβον εἶχες ὄμμα, σύγχυσίν τε, μὴ
νεῶν
Χιλίων ἄρχων, Πριάμου τε πεδίον ἐμπλήσας
δορός.
Κἀμὲ παρεκάλεις, τί δράσω; τίνα δὲ πόρον
εὕρω πόθεν;
Ὥςε μὴ ςρέντα σ' ἀρχᾶς ἀπολέσαι καλὸν
κλέος.
Κἄτ', ἐπεὶ Κάλχας ἐν ἱεροῖς εἶπε σὴν θῦσαι
κόρην

Probum, *res* magnas gerentem, mores mutare:
Sed tunc maxime firmum esse amicis,
Quando ipse fortunatus maxime potest *eos* juvare.
Haec igitur tibi primum objeci, ut in primis te invenirem malum.
Postquam vero etiam in Aulin venisti, et totus Graecorum exercitus,
Nullus eras: sed consternabaris calamitate divinitus immissa, secunda navigatione
Carens: Graeci vero, ut dimitteres naves, flagitabant,
Et ne frustra laborares in Aulide. Quam vero
Miserum vultum habuisti et quantam perturbationem, nisi navibus
Mille praepositus, Priami campum armis impleturus esses?
Et me consulebas, quid faciam? quamnam viam alicubi reperiam?
Ne privatus imperio praeclaram gloriam amittam.
Deinde postquam in sacrificiis Calchas dixit, ut mactares tuam filiam

Dianae, atque ita secundam navigationem fore
Graecis, gavisus animo,
Libens mactaturum te esse filiam tuam promisisti,
et volens mandas
Uxori tuae, non coactus vi, ne dixeris istud, tuam
Filiam huc mittere, hoc praetextu, tanquam
Nupturam Achilli. Deinde mutata sententia clam
alias literas misisti,
Quod non sis futurus interfector filiae tuae ullo
modo.
Hic idem aether est testis, qui de te haec audivit.
Innumeris autem hoc accidit in rerum administratione;
Ut penes ipsos sit, labore consequuntur; tandem
vero excedunt turpiter:
Partim quidem ob stultum civium judicium, partim
Vero juste, cum non possint ipsi tueri Rempublicam.
Ego potissimum gemo miseram Graeciam, quae
Cum velit aliquid glorioſum gerere contra barbaros,
Nihili homines, dimittet *eos* ridentes propter te et
tuam filiam.
Neminem ego facerem praefectum alicujus loci
propter affinitatem,

Ἀρτέμιδι, καὶ πλεῖν ἔσεσθαι Δαναΐδας, ἡδεῖς φρένας,
Ἄσμενος θύσειν ὑπέρης παῖδα· χὴ πέμπεις ἑκών,
Οὐ βίᾳ, μὴ τοῦτο λέξῃς, σῇ δάμαρτι, παῖδα σὴν
Δεῦρ' ἀποστέλλειν, Ἀχιλλεῖ πρόφασιν ὡς γαμούμενην.
Κᾆθ' ὑποστρέψας λέληψαι, μεταβαλὼν ἄλλας γραφάς,
Ὡς φονεὺς ἀκέτι θυγατρὸς σῆς ἔσῃ μάλιστά γε.
Οὗτος αὐτός ἐστιν αἰθὴρ, ὃς τάδ' ἤκουσεν σέθεν.
Μυρίοι δέ τοι πεπόνθασ' αὐτὸ πρὸς τὰ πράγματα,
Ἐκπονῆσ' ἔχοντες, εἶτα δ' ἐξεχώρησαν κακῶς,
Τὰ μὲν ὑπὸ γνώμας πολιτῶν ἀσυνέτου, τὰ δ' ἐνδίκως,
Ἀδύναλοι γεγῶτες αὐτοὶ διαφυλάξασθαι πόλιν.
Ἑλλάδος μάλις' ἔζωσε τῆς ταλαιπώρου γένυ,
Ἥ, θέλουσα δρᾶν τι κεδνὸν βαρβάρους, τοὺς ἐδέναις,
Καταγελῶντας ἐξανήσει διά σε, καὶ τὴν σὴν κόρην.
Μηδὲν' ἂν χρέος ἕκατι προσάτην δείμην χθονὸς,

Μήδ' ὅπλων ἄρχοντα· νῦν χρὴ τὸν στρατηλάτην ἔχειν

Πόλεος· ὡς ἄρχων ἀνὴρ πᾶς, ξύνεσιν ἣν ἔχων τύχῃ.

Χ. Δεινόν, κασιγνήτοισι γίνεσθαι λόγους,

Μάχας θ', ὅταν ποτ' ἐμπέσωσιν εἰς ἔριν.

Α. Βέλομαί σ' εἰπεῖν κακῶς εὖ, βραχέα, μὴ λίαν ἄν ὦ

Βλέφαρα πρὸς τἀναιδὲς ἀγαγών· ἀλλὰ σωφρονέστερος,

Ὡς ἀδελφὸν ὄντ'· ἀνὴρ γὰρ αἰσχρὸς αἰδεῖσθ' ὃ φιλεῖ.

Εἰπέ μοι, τί δεινὰ φυσᾷς, αἱμαλῆρὸν ὄμμ' ἔχων;

Τίς ἀδικεῖ σε; τῦ κέχρησαι; λέκτρ' ἑρᾷς γε χρηστὰ λαβεῖν;

Οὐκ ἔχοιμ' ἄν σοι παραχεῖν· ὧν γὰρ ἐκτήσω, κακῶς

Ἦρχες· εἶτ' ἐγὼ δίκην δώσω κακῶν, ὁ μὴ σφαλείς;

Ἢ δάκνει σε τὸ φιλότιμον τῦμόν; ἀλλ' ἐν ἀγκάλαις

Εὐπρεπῆ γυναῖκα χρήζεις, τὸ λελογισμένον παρεὶς

Neque ducem exercitus: oportet ſapere duc-
torem:
Quivis enim vir civitates ornaverit, ſi ſapientiam
habeat.
C. Acerba *res eſt*, inter fratres fieri convitia
Et pugnas, quando in contentionem inciderint.
A. Volo te vituperare paucis, non nimis ſurſum
Palpebras impudenter attollens, ſed mo-
deſtius:
Quippe fratrem, etiam improbum, probus reveri
amat.
Dic mihi quare acerba ſpiras, habens cruentum
Oculum? quis te injuria afficit? qua re indiges?
conjugium, bonum utique, adipiſci cupis?
Non poſſum equidem tibi praeſtare: quae enim
poſſidebas, male
Rexiſti. An igitur ego poenas dabo malorum tuo-
rum, qui non peccavi?
An te mea ambitio mordet? At in complexi-
bus
Formoſam conjugem vis, ratione con-
tempta,

Et honeſtate, habere ? Hominis mali malae *ſunt*
voluptates.
Quod vero ego non recte prius ſentiens, ſententiam
mutarim prudenter,
An inſanio ? tu magis, qui amiſſa mala con-
juge,
Eam recipere vis, Deo tibi fortunam ſecundam
Largiente. Quando juraverunt Tyndarei illud
Jusjurandum excordes nuptiarum-cupidi Proci,
Spes, credo, cecinit Deos,
Ad praeſtandum vero adegit aemulatio, non Tu,
aut tuum robur :
Quos aſſumens bellum aggredere : quo eos infanos
agunt mentium deliriationes :
Non enim excors eſt Numen, ſed intelligere poteſt
Male pactum jusjurandum, et per vim extor-
tum.
Ego vero non interficiam meos liberos : unde tibi
feliciter
Praeter jus erit, vindicta peſſimae conjugis.
Me vero conficient noctes, dieſque lachrymis,
Si faciam iniqua, et injuſta in liberos, quos genui.

Καὶ τὸ καλὸν, ἔχειν ; πονηροῦ φωτὸς ἡδοναὶ κακαί.
Εἰ δ' ἐγὼ, γνὺς πρόσθεν οὐκ εὖ, μετετέθην εὐβελίᾳ,
Μαίνομαι; σὺ μᾶλλον, ὅστις, ἀπολέσας κακὸν λέχος,
Ἀναλαβεῖν θέλεις, θεᾷ σοι λὴν τύχην διδόντος εὖ.
Ὤμοσαν τὸν Τυνδάρειον ὅρκον οἱ κακόφρονες
Φιλόγαμοι μνηστῆρες· ἡ δέ γ' Ἑλπὶς, οἶμαι μὲν, θεὸς,
Κἀξέπραξεν αὐτὸ μᾶλλον, ἢ σὺ, καὶ τὸ σὸν σθένος·
Οὓς λαβὼν στράτευέ γ'· οἶμαι δ' εἴσῃ μωρίᾳ φρενῶν·
Οὐ γὰρ ἀσύνετον τὸ θεῖον, ἀλλ' ἔχει συνιέναι
Τοὺς κακῶς παγέντας ὅρκους, καὶ κατηναγκασμένους.
Τἀμὰ δ' οὐκ ἀποκτενῶ 'γὼ τέκνα· καὶ τὸ σὸν μὲν εὖ
Πέρα δίκης ἔσαι, κακίστης εὐνίδος τιμωρία.
Ἐμὲ δὲ συντήξουσι νύκτες ἡμέραι τε δακρύοις,
Ἄνομα δρῶντα κοὐ δίκαια παῖδας, οὓς ἐγεινάμην,

Ταῦτά σοι βραχέα λέλεκται, καὶ σαφῆ, καὶ ῥάδια.
Εἰ δὲ μὴ βούλει φρονεῖν εὖ, τἄμ' ἐγὼ θήσω καλῶς.

ΙΑΜΒΟΙ.

Χ. Οἵ δ' αὖ διάφοροι τῶν πάρος λελεγμένων
Μύθων· καλῶς δ' ἔχουσι φείδεσθαι τέκνων.
Μ. Αἰ, αἰ· φίλος ἆρ' ὐχὶ κεκτήμην τάλας.
Α. Εἰ τὸν φίλον γε μὴ θέλεις ἀπολλύναι.
Μ. Δείξεις δὲ πῶ μοι παῖδος ἐκ ταυτῶ γεγώς;
Α. Συνασφρονεῖν σοι βούλομ', ἀλλ' ὐ συννοσεῖν.
Μ. Ἐς κοινὸν ἀλγεῖν τοῖς φίλοισι χρὴ φίλους.
Α. Εὖ δρῶν παρακάλει μ', ἀλλὰ μὴ λυπῶν ἐμέ.
Μ. Οὐκ ἄρα δοκεῖ σοι ἥδε πονεῖν σὺν Ἑλλάδι;
Α. Ἑλλὰς δὲ σὺν σοὶ κατὰ θεὸν νοσεῖ τινα.
Μ. Σκήπτρῳ νῦν αὐχεῖς, σὸν κασίγνητον προδούς.
Ἐγὼ δ' ἐπ' ἄλλας εἶμι μηχανάς τινας,
Φίλους τ' ἐπ' ἄλλους. Α. Ὦ Πανελλήνων ἄναξ
Ἀγάμεμνον, ἥκω παῖδά σοι τὴν σὴν ἄγων,
Ἣν Ἰφιγενείαν ὠνόμασας πότ' ἐν δόμοις.
Μήτηρ δ' ὁμαρτεῖ, σῆς Κλυταιμνήστρας δέμας,
Καὶ παῖς Ὀρέστης, ὥστε τερφθείης ἰδών,

Haec tibi pauca dicta sunt et clara, et facilia:
Quod si non vis sapere, ego mea recte curabo.

IAMBI.

C. Hi dissimiles sunt prius dictis sermonibus;
Probe autem habent, ut parcatur liberis.
M. Heu, heu! non igitur habeo miser amicos?
A. *Imo*, si modo non vis perdere amicos.
M. Ubi vero offendes quod sis ex eodem patre natus?
A. Volo tecum sapere, sed non simul furere.
M. Atqui oportet amicos cum amicis dolere
Communiter. A. Mone me, beneficio sed non
Dolore afficiens. M. Annon tibi videtur in his
Laborandum esse cum Graecia? A. Graecia vero a
Nescio quo lymphata Deo tecum insanit. M. Tu
gloriare nunc regno, prodens tuum fratrem.
Ego vero ad alias artes me conferam,
Et ad alios amicos. N. O rex omnium Graecorum
Agamemnon, adsum adducens tibi tuam filiam,
Quam Iphigeniam olim nominasti in aedibus;
Mater autem comitatur, tua conjunx Clytaemnestra,
Et filius Orestes, ut delecteris conspectu *horum*,

Jam pridem a *tuis* aedibus peregre agens.
Sed quia longum *iter* fecerunt, ad limpidum
Fontem reficiunt foemineos pedes,
Ipſaeque et equae: in gramen vero pratorum
Dimiſimus haſce, ut geſtent cibum.
Ego vero praecurſor propter tuum apparatum
Venio; exercitus enim *hoc* audivit: quia velox
Pervaſit *ipſum* fama, veniſſe tuam filiam.
Omnis igitur turba curſu venit ad ſpectaculum,
Ut videat tuam filiam. Fortunati vero *viri*
Inter omnes homines *ſunt* inclyti, et conſpicui.
Dicunt autem, Eſtne aliquis hymenaeus? aut quid
Agitur? an deſiderio affectus rex Agamemnon filiae
Curavit adduci eam? ab aliis vero haec audires:
Dianae initiant adoleſcentulam,
Reginae Aulidis. Quiſnam eam ducet?
Sed eja. Quae proxima ſunt auſpicare Caniſtra,
Coronate capita, et tu, rex Menelae,
Appara nuptias, et in domo
Sonet tibia, et ſonitus ſit pedum:
Venit enim hic dies felix puellae.
A. Laudo: ſed vade intra aedes.
Reliqua enim favente fortuna fient.

Χρόνον παλαιὸν δωμάτων ἔκθημος ὤν.
Ἀλλ', ὡς μακρὰν ἔτεινον, Εὔρυτον πάρα
Κρήνην ἀναψύχεσι θηλύπουν βάσιν,
Αὐταί τε πῶλοί γ'· εἰς δὲ λειμώνων χλόην
Καθεῖμεν αὐτάς, ὡς βορᾶς γευσαίατο.
Ἐγὼ δὲ πρόδρομος σῆς παρασκευῆς χάριν
Ἧκω· πέπυσται γὰρ στρατὸς· ταχεῖα δὲ
Διῆξε φήμη παῖδα σὴν ἀφιγμένην.
Πᾶς δ' εἰς θέαν ὅμιλος ἔρχεται δρόμῳ,
Σὴν παῖδ' ὅπως ἴδωσιν· οἱ δ' εὐδαίμονες,
Ἐν πᾶσι κλεινοὶ καὶ περίβλεπτοι βροτοῖς.
Λέγεσι δ', ὑμέναιός τις, ἢ τί πράσσεται;
Ἦ, πόθον ἔχων θυγατρὸς Ἀγαμέμνων ἄναξ,
Ἐκόμισε παῖδα; τῶνδ' ἂν ἥκεσας τάδε·
Ἀρτέμιδι προτελίζεσι τὴν νεανίδα
Αὐλίδος ἀνάσσης· τίς νιν ἅξεταί ποτε;
Ἀλλ' εἶα· τἀπὶ τοῖσιδ', ἐξάρχου κανᾶ.
Στεφανῶσθε κρᾶτα· καὶ σὺ, Μενέλεως ἄναξ,
Ὑμέναιον εὐτρέπιζε· καὶ κατὰ στέγας
Λωτὸς βοάσθω, καὶ ποδῶν ἔσω κτύπος·
Φῶς γὰρ τόδ' ἥκει μακάριον τῇ παρθένῳ.
Α. Ἐπήνεσ'· ἀλλὰ στεῖχε δωμάτων ἔσω.
Τὰ δ' ἄλλ', ἴσης τῆς τύχης, ἔσαι καλῶς.

Οἴμοι· τί φῶ δύσηνος; ἄρξομαι σέθεν.
Εἰς οἷ' ἀνάγκης ζεύγματ' ἐμπεπτώκαμεν.
Ὑπῆλθε δαίμων, ὥστε τῶν σοφισμάτων
Πολλῷ γενέσθαι τῶν ἐμῶν σοφώτερος.
Ἡ δυσγένεια δ' ὡς ἔχει τι χρήσιμον.
Καὶ γὰρ δακρῦσαι ῥᾳδίως αὐτοῖς ἔχει,
Ἀνολβά τ' εἰπεῖν· τῷ δὲ γενναίῳ φύσιν
Ἅπαντα ταῦτα· προσάτην γε τὸ βίου
Τὸν δῆμον ἔχομεν, τῷ τ' ὄχλῳ δουλεύομεν.
Ἐγὼ γὰρ ἐκβαλεῖν μὲν αἰδοῦμαι δάκρυ,
Τὸ μὴ δακρῦσαι δ' αὖθις αἰδοῦμαι τάλας,
Εἰς τὰς μεγίστας συμφορὰς ἀφιγμένος.
Εἶεν, τί φήσω πρὸς δάμαρτα τὴν ἐμήν;
Πῶς δέξομαί νιν; ποῖον ὄμμα συμβαλῶ;
Καὶ γάρ μ' ἀπώλεσ' ἐπὶ κακοῖς ἃ μοι πάρα,
Ἐλθοῦσ' ἄκλητος· εἰκότως δ' ἄμ' ἕσπετο.
Θυγατρὶ νυμφεύουσα, καὶ τὰ φίλτατα
Δώσουσ', ἵν' ἡμᾶς ὄντας εὑρήσει κακούς.
Τήνδ' αὖ τάλαιναν παρθένον, τί παρθένον;
Αἴδης νιν, ὡς ἔοικε, νυμφεύσει τάχα,
Ὡς ὤκτισ'· οἶμαι γάρ νιν ἱκετεῦσαι τάδε·
Ὦ πάτερ, ἀποκτενεῖς με; τοιούτους γάμους
Γήμειας αὐτὸς, χ' ὥσις ἔσι σοι φίλος.

Hei mihi, quid dicam miſer? a te regor.
In quale vinculum neceſſitatis incidimus?
Antevertit *me* Fortuna, ut technis
Meis longe ſit aſtutior.
Ignobilitas vero quantum habet utilitatis?
Etenim licet illis facile lachrymari,
Et dicere quaelibet; nobilibus vero genere
Omnia haec moleſta; gubernatorem quidem vitae
Habemus populum, et ſervimus plebi.
Ego enim vereor equidem emittere lachrymas,
Rurſus vero pudet me miſerum non lachrymari,
In maximas calamitates delapſum.
Eſto, quid dicam ad meam conjugem?
Quomodo excipiam eam; quos oculos *in eam*
Conjiciam? etenim me perdidit praeter mala, quae
Mihi prius aderant, veniens non vocata: jure autem
Secuta eſt filiam, nuptias *ejus* celebratura, et
Chariſſimam datura, ubi nos inveniet perfidioſos.
Hanc vero miſeram virginem, quid virginem *voco?*
Pluto, ut opinor, eam brevi ducet.
Ut miſeror! Arbitror enim ipſam inter ſupplicationes
Haec dicturam; o Pater, occides me? tales nuptias
Celebres ipſe et quiſquis tibi charus eſt.

Oreſtes autem prope ſtans, clamabit
Scita parum ſcite; adhuc enim eſt infans.
Heu, heu, ut perdidit me, nuptias *cum Helena*
Celebrans Paris filius Priami, quod horum mihi
Cauſa eſt. C. Et ego miſericordia commoveor, ut
Decet mulierem peregrinam, propter calamitatem
Principum ingemiſcere. M. Frater, da mihi ut tuam
Dextram contingam. A. Do: tua eſt enim victoria,
Ego vero miſer. M. Juro Pelopem, qui pater mei
Patris, et tui vocabatur, et Atreum qui genuit nos,
Certe dicturum me tibi eſſe ex animo aperte,
Et nihil artificioſum, ſed ita ut ſentio. Ego cum
Viderem te ex oculis emittentem lachrymas, miſertus
Sum *tui*, et ipſe viciſſim emiſi *lachrymas*, propter te,
Et diſcedo a priore ſententia, non in te
Crudelis: vado enim eo *ſententiae* ubi tu nunc es,
Et tibi ſuadeo, ne interficias filiam *tuam*,
Neque anteferas meam *utilitatem*: non enim juſtum
Eſt, te quidem gemere, me vero ſuaviter habere:
Et tuos quidem mori, meos vero aſpicere *hanc*
Lucem. Quid enim volo? an non egregias nuptias
Alias apparare poſſum, ſi nuptias deſidero?
Sed perdens fratrem, quem me minime oportebat

Παρὼν δ' Ὀρέστης ἐγγὺς ἀναβοήσεται
Οὐ συνετά συνετῶς· ἔτι γὰρ ἐσὶ νήπιος.
Αἲ, αἲ· τὸν Ἑλένης ὥς μ' ἀπώλεσεν γάμον
Γήμας ὁ Πριάμου Πάρις, ὅς μ' εἴργασαι τάδε.
Χ. Κἀγὼ κατώκτειρ', ὡς γυναῖκα δεῖ ξένην
Ὑπὲρ τυράννων συμφορᾶς κατασένειν.
Μ. Ἀδελφὲ, δός μοι δεξιᾶς τῆς σῆς θιγεῖν.
Α. Δίδωμι· σὸν γὰρ τὸ κράτος, ἄθλιος δ' ἐγώ.
Μ. Πέλοπα καλῶ μνυμ', ὃς παλὴρ τυμῦ παλρὸς
Τῦ σῦ τ' ἐκλήθη, τὸν τεκόντα τ' Ἀτρέα,
Ἢ μὴν ἐρεῖν σοι τ' ἀπὸ καρδίας σαφῶς,
Καὶ μὴ πίτηδες μηδὲν, ἀλλ' ὅσον φρονῶ.
Ἐγὼ σ' ἀπ' ὄσσων ἐκβαλόντ' ἰδὼν δάκρυ
Ὤικτειρα, καὐτὸς ἀνταφῆκά σοι πάλιν,
Καὶ τῶν παλαιῶν ἐξαφίσαμαι λόγων,
Οὐκ εἰς σὲ δεινός· εἶμι δ' ὕπερ εἶ σὺ νῦν·
Καί σοι παραινῶ μήτ' ἀποκτείνειν τέκνον,
Μήτ' ἀνθελέσθαι τυμόν· ὃ γὰρ ἔνδικον,
Σὲ μὲν σενάζειν, τἀμὰ δ' ἡδέως ἔχειν,
Θνήσκειν τε τὰς σὰς, τὰς δ' ἐμὰς ὁρᾶν φάος.
Τί βύλομαι γάρ; ὃ γάμος ἐξαιρέτος
Ἄλλος λάζοιμ' ἄν, εἰ γάμων ἰμείρομαι;
Ἀλλ', ἀπολέσας ἀδελφὸν, ὃν μ' ἦκις' ἐχρῆν,

Ἑλένην ἕλωμαι, τὸ κακὸν ἀντὶ τἀγαθῶ;
Ἄφρων, νέος γ' ἦν πρίν· ἀλλὰ πράγματα δ' ἐγγύθεν
Σκοπῶν, ἐσεῖδον οἷον ἦν κτείνειν τέκνα.
Ἄλλως τέ μ' ἕλεος τῆς ταλαπώρου κόρης
Εἰσῆλθε, συγγένειαν ἐννοουμένῳ,
Ἢ τῶν ἐμῶν ἔκατι θύεσθαι γάμων
Μέλλει· τί δ' Ἑλένης παρθένῳ τῇ σῇ μέτα;
Ἴτω στρατεία διαλυθεῖσ' ἐξ Αὐλίδος.
Σὺ δ' ὄμμα παῦσαι δακρύοις τέγγων τὸ σόν,
Ἀδελφὲ, κἀμὲ παρακαλῶν εἰς δάκρυα.
Εἰ δέ τι κόρης σῆς θεσφάτων μέτεστί σοι,
Μή μοι μετέσῳ· σοὶ νέμω τιμὸν μέρος.
Ἀλλ' εἰς μεταβολὰς ἦλθον ἀπὸ δεινῶν λόγων·
Εἰκὸς πέπονθα· τὸν ὁμόθεν πεφυκότα
Στέργων, μετέπεσον· ἀνδρὸς ὃ κακῶ τρόποι
Τοιοῖδε, χρῆσθαι τοῖσι βελτίοσις ἀεί.
Χ. Γενναῖ' ἔλεξας, Ταντάλῳ τε τῷ Διὸς
Πρέποντα· προγόνους δ' καταισχύνεις σέθεν.
Α. Αἰνῶ σε, Μενέλαος, ὅτι παρὰ γνώμην ἐμὴν
Ὑπέθηκες ὀρθῶς τοὺς λόγους, σῶ τ' ἀξίως.
Μ. Ταραχή γ' ἀδελφῶν τις δι' ἔρωτα γίγνεται,
Πλεονεξίαν τε δωμάτων· ἀτέρπτυσα
Τοιάνδε συγγένειαν ἀλλήλων πικράν.

Perdere, Helenam accipiam, malum pro bono?
Stultus et juvenis eram prius: sed propius rem
Inspiciens, vidi quale *malum* sit interficere liberos.
Praeterea vero me miseratio infelicis puellae
Subiit, cogitantem cognationem *nostram*,
Quae propter meas nuptias mactanda
Est: quid enim rei est tuae filiae cum Helena?
Eat exercitus dimissus ex Aulide.
Tu vero desiste oculos tuos irrigare lachrymis,
Frater, et me provocare ad lachrymas.
Si quid vero oracula de tua ad me pertinent,
Nihil sane pertinent; tibi tribuo meam partem.
Sed si veni in mutationem a crudeli sententia,
Affectus sum, ut aequum erat: *fratrem* eodem patre
Satum amans, mutatus sum. Boni viri mutationes
Tales sunt, semper optima sententia uti.
C. Generosa dixisti, et Tantalo filio Jovis
Digna: non dedecoras tuos majores. A. Laudo
Te, Menelae, quod praeter meam opinionem
Recte haec verba subjecisti, et ut te decet.
M. Discordia fratrum quibus propter amorem oritur,
Et avaritiam familiarum, abominor
Talem cognationem, acerbam mutuo.

A. Atqui pervenimus in neceſſitatem,
Ut cruentam caedem filiae meae patremus.
M. Qui? quis vero coget te tuam *filiam* occidere?
A. Univerſus conventus copiarum Graecarum.
M. Non, ſi rurſus ipſam Argos mittas. A. Eatenus
Poſſim fallere, ſed illa in re non potero fallere.
M. Quid eſt illud? non oportet turbam nimis timere.
A. Calchas aperiet oracula exercitui Graecorum.
M. Non, ſi ante moriatur, hoc autem facile *eſt*.
A. Totum genus vatum eſt gloriae cupidum malum.
M. Neque ulla in re commodum neque utile cum
Adeſt. A. Illud vero non times, quod me ſubit?
M. Quomodo poſſum ſuſpicari ſermonem, quem tu
Non dicis? A. Genus Siſyphi novit haec omnia,
M. Nihil eſt, in quo me et te laedet Ulyſſes.
A. Semper eſt doloſus, utique apud populum.
M. Ambitione quidem tenetur, ingenti malo.
A. Nonne ergo putas eum ſtantem in medio
Graecorum dicturum eſſe oracula ea, quae
Enarravit Calchas, et quomodo ego promiſerim
Sacrificium, deinde vero recuſem, Dianae me
Facturum? Non conciens exercitum, me et te
Interficientes, Graecos puellam mactare jubebit?

Α. Ἀλλ' ἤκομεν γὰρ εἰς ἀναγκαίας τύχας,
Θυγατρὸς αἱματηρὸν ἐκπρᾶξαι φόνον.
Μ. Πῶς; τίς δ' ἀναγκάσει σε τλήναι σὴν κτανεῖν;
Α. Ἅπας Ἀχαιῶν σύλλογος στρατεύματος.
Μ. Οὐκ, εἰ μὴ εἷς Ἄργος γ' ἀποστελεῖς πάλιν.
Α. Λάθοιμι τοῦτ' ἄν· ἀλλ' ἐκεῖν' ἃ λήσομαι.
Μ. Τὸ ποῖον; ἆρα χρὴ λίαν ταρβεῖν ὄχλον.
Α. Κάλχας ἐρεῖ μαντεύμαθ' Ἀργείων στρατῷ.
Μ. Οὐκ, ἦν θάνῃ γε πρόσθε· τοῦτο δ' εὐμαρές.
Α. Τὸ μαντικὸν πᾶν σπέρμα φιλότιμον κακόν.
Μ. Κοὐδέν γ'· ἄχρηστον, οὐδὲ χρήσιμον παρόν.
Α. Ἐκεῖνο δ' ἃ δέδοικας, ὅτι μ' εἰσέρχεται;
Μ. Ὃν μὴ σὺ φάζεις, πῶς ὑπολάβωμεν λόγον;
Α. Τὸ Σισύφειον σπέρμα πάντ' οἶδεν τάδε.
Μ. Οὐκ ἔς', Ὀδυσσεὺς ὅ, τι σὲ κἀμὲ πημανεῖ.
Α. Ποικίλος ἀεὶ πέφυκε, τῷ γ' ὄχλῳ μέτα.
Μ. Φιλοτιμία μὲν ἐνέχεται, δεινῷ κακῷ.
Α. Οὐκοῦν δόκει νιν, στάντ' ἐν Ἀργείοις μέσοις,
Λέξειν ἃ Κάλχας θέσφατ' ἐξηγήσατο,
Κἄμ' ὡς ὑπέσχην θῦμα, κἄτα ψεύδομαι,
Ἀρτέμιδι θύσειν· ὃς, ξυναρπάσας στρατὸν,
Σὲ κἄμ' ἀποκτείναντας Ἀργείους, κόρην
Σφάξαι κελεύσει· κἂν πρὸς Ἄργος ἐκφύγω,

Ἐλθόντες αὐτοῖς τείχεσιν Κυκλωπίοις,
Ξυναρπάσωσι καὶ κατασκάψωσι γῆν.
Τοιαῦτά ταὶμὰ πήματ' ὦ τάλας ἐγὼ,
Ὡς ἠπόρημαι πρὸς θεῶν τὰ νῦν τάδε.
Ἔν μοι φυλάξον, Μενέλεως, ἀνάστρατὸν
Ἐλθὼν, ὅπως ἂν μὴ Κλυταιμνήστρα τάδε
Μάθῃ, πρὶν ἀδὴ παῖδ' ἐμὴν προσθῶ λαβὼν,
Ὡς ἐπ' ἐλαχίστοις δακρύοις πράσσω κακῶς.
Ὑμεῖς τε σιγὴν, ὦ ξέναι, φυλάσσετε.

ΕΠΩΔΙΚΑ.

ΣΤΡΟΦΗ Α'.

Χ. Μάκαρες, οἳ μετρίας θεᾶς,
Μετά τε σωφροσύνας μετέχον
Λέκτρων Ἀφροδίτας,
Γαλανείᾳ χρησάμενοι.
Μαινόμεν' οἴστρων, ὅθι δὴ
Δίδυμ' ἔρως ὁ χρυσοκόμας
Τόξ' ἐντείνεται χαρίτων·
Τὸ μὲν ἐπ' εὐαίωνι πότμῳ,
Τὸ δ' ἐπὶ συγχύσει βιοτᾶς.
Ἀπενέπω νιν ἀμετέρων,
Κύπρι καλλίστα, θαλάμων.
Εἴη δέ μοι μετρία μὲν

Quod si ad Argos fugero, venientes, cum ipsis
Moeniis Cyclopiis, devastabunt, et evertent terram.
Talia *sunt* mea mala, o me miserum.
Ad quam angustiam a Diis in hac re nunc redigor?
Unum mihi caveto, Menelae, per exercitum
Veniens, ut ne Clytaemnestra haec
Resciscat, priusquam Plutoni filiam meam acceptam
Addixero, ut sim miser pauciſſimis lachrymis,
Vosque, o peregrinae, silentium servate.

EPODICA.

STROPHE I.

C. Beati, qui moderatae Deae,
Et cum castitate sunt participes
Lectorum Veneris,
Tranquillitate fruentes.
Pleni utique oestris sumus, quando
Amor auricomus geminos
Arcus intendit venustatum:
Unum quidem ad felicem vitam,
Alterum vero ad confusionem vitae.
Deprecor hunc *arcum* a nostris
Thalamis, o pulcherrima Venus.
Sit vero mihi moderata quidem *formae*

Gratia, et ſancti amores:
Et ſim particeps *moderatae* Veneris:
Immoderatam vero rejiciam.

ANTISTROPHE.

Diverſa autem *ſunt* ingenia mortalium:
Diſſimiles etiam *ſunt* moribus: mos vero rectus,
Bonum *eſt* manifeſtum ſemper.
Et educatio recte inſtituens,
Multum confert ad virtutem.
Etenim vereri aliquid Sapientiae,
Parem ad mores emolliendos
Gratiam, et mente perſpicere
Officium ubi docuit, affert,
Gloriam non feneſcentem vitae.
Magnum quiddam *eſt*, venari virtutem,
Mulieribus quidem in Venere
Occulta; Viris vero contra
Populus palam videns innumerus
In majus iterum auget.

EPODUS.

Quibus neglectis, o Paris, tu nimium
Paſtor educatus es candidos
Apud Idaeos vitulos,

Χάρις, πόθοι δ' ὅσιοι·
Καὶ μετέχοιμι τᾶς Ἀφροδίτας,
Πολλάν τ' ἀποθείμαν.

ΑΝΤΙΣΤΡΟΦΗ.

Διάφοροι δὲ φύσεις βροτῶν,
Διάτροποι δὲ τρόποις· ὁ δ' ὀρθὸς,
Ἔθλὸν σαφὲς αἰεί.
Τροφαί θ' αἱ παιδευόμεναι,
Μέγα φέρουσ' εἰς ἀρετάν.
Τό τε γὰρ αἰδεῖσθαι σοφία,
Τάν τ' ἐξαλλάσσουσαν ἔχει
Χάριν, ὑπὸ γνώμας ἐσορᾷν,
Τὸ δέον ἔνθα δόξαν φέρει,
Κλέος ἀγήρατον βιοτάν.
Μέγα τι θηρεύειν ἀρετὰν,
Γυναιξὶ μὲν κατὰ Κύπριν
Κρυπτάν· ἐν ἀνδράσι δ' αὖ
Κόσμος ἔνδον ὁ μυριοπληθὴς
Μείζω πόλιν αὔξει.

ΕΠΩΔΟΣ.

Ἔμολες, ὦ Πάρις, ἦ τε σύ γε
Βυκόλος ἀργεννᾶις ἐτράφης
Ἰδαίαις παρὰ μόχοις,

Βάρβαρα συρίζων Φρυγίων
Αὐλῶν, Ὀλύμπου καλάμοις
Μιμήματα πλέκων.
Εὔθηλοι δὲ τρέφοντο βόες,
Ὅτε σε κρίσις ἔμενε θεᾶν,
Ἃ σ' Ἑλλάδα πέμπει,
Ἐλεφαντοδέτων πάροιθεν
Δόμων, ὃς τᾶς Ἑλένας
Ἐν ἀντωποῖς βλεφάροισιν
Ἔρωτα δέδωκας·
Ἔρωτι δ' αὐτὸς ἐπτοάθης.
Ὅθεν ἔρις ἔρις Ἑλλάδα σὺν δορὶ
Ναυσί τ' ἄγει,
Ἐς Τροίας Πέργαμα.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χ. Ἰὼ, ἰώ·
Μεγάλαι μεγάλων εὐδαιμονίαι.
Τὴν τοῦ βασιλέως
Ἴδετ' Ἰφιγένειαν, ἄναασαν ἐμὴν,
Τὴν Τυνδαρέου τε Κλυταιμήστραν,
Ὡς ἐκ μεγάλων ἐβλαστήκασ', ἐπί τ' εὐμήκεις ἥκουσι τύχας.
Θεοί γ' οἱ κρείσσους οἵτ' ὀλβοφόροι

Canens barbaricos modos, Phrygiis
Tibiarum Olympi calamis,
Imitationem faciens.
Mammoſae vero boves paſcebantur,
Quando te dearum judicium expectavit,
Quod te *in* Graeciam miſit
Ante eburneas
Domos, ubi Helenae
In adverſos oculos
Amorem injeciſti:
Amore vero tu ipſe perculſus es:
Unde diſcordia, diſcordia Graeciam cum haſtis,
Et navibus, ducit
Ad Pergama Trojae.

ANAPAESTI.

C. Io, io.
Magnae magnorum *ſunt* felicitates,
Regis *filiam*
Videte Iphigeniam, reginam meam,
Et Clytaemneſtram filiam Tyndarei,
Quomodo ex magnis parentibus natae ſunt,
Et ad prolixam evectae fortunam.
Deorum loco ſunt potentes, et

Minus beatis mortalibus.

Confiſtamus, *hoc o* Chalcidis filiae alumnae,

Excipiamus reginam curru

De *ſuo*, non lubrice, in terram,

Placide vero manibus: tenera indole

Ne conſternetur recens ad nos veniens

Inclyta filia Agamemnonis;

Neque tumultum, neque terrorem

Argivis

Hoſpitae hoſpitibus praebeamus.

IAMBI.

C. Bonum augurium facimus hoc,

Tuam bonitatem, et verborum comitatem.

Spem vero quandam habeo, quod ad felices nuptias

Adſim, adducens ſponſam. Quamobrem e curribus

Efferte munera dotalia, quae puellae fero,

Et mittite diligenter in aulam.

Tu vero, o filia mea, relinque equeſtres currus,

Ponens pedem tenerum et ſimul infirmum.

Vos vero, puellae, in ulnis

Excipite *eam*, et deducite de curru:

Et mihi det aliquis manus fulcimentum,

Sedes currus ut relinquam commode.

Τοῖς ὐκ εὐδαίμοσι τῶν θνατῶν.
Στῶμεν, Χαλκίδος ἔκγονα θρέμματα,
Τὴν βασίλειαν δεξώμεθ' ὄχων
Ἄπο, μὴ σφαλερῶς ἐπὶ τὴν γαῖαν,
Ἀγανῶς δὲ χεροῖν, μαλακῇ γνώμῃ
Μὴ ταρβήσῃ νεωςί μοι μολὸν
Τὸ κλεινὸν τέκνον Ἀγαμέμνονος,
Μὴ δὲ θόρυβον, μήδ' ἔκπληξιν
Ταῖς Ἀργείαις,
Ξεῖναι, ξείναις παρέχωμεν.

ΙΑΜΒΟΙ.

Κ. Ὄρνιθα μὲν τόνδ' αἴσιον ποιούμεθα,
Τὸ σόν τε χρηςὸν, καὶ λόγων εὐφημίαν.
Ἐλπίδα δ' ἔχω τίν', ὡς ἐπ' ἐσθλοῖσιν γάμοις
Πάρειμι νυμφαγωγός· ἀλλ' ὀχημάτων
Ἔξω πορεύεθ' ἃς φέρω φερνὰς κόρῃ,
Καὶ πέμπετ' εἰς μέλαθρον εὐλαβούμενοι.
Σὺ δ', ὦ τέκνον μοι, λεῖπε πωλικοὺς ὄχους,
